BANQUE COMMUNE D'EPREUVES

CONCOURS D'ADMISSION DE 2009

Concepteur : ESSEC

---

**OPTION LETTRES ET SCIENCES HUMAINES**

## GREC troisième langue

Durée : 4 heures

Mercredi 6 mai de 14h à 18h

Conseils à une courtisane

Χαριέστατον οἶδα τὸ σμικρὸν ὑποκνίζειν τοὺς νέους· τοῦτο γὰρ τῶν ἀφροδισίων προαναστέλλει τὸν κόρον, καὶ τὰς ἑταίρας ὑποδείκνυσιν ἀεὶ ποθεῖν τοῖς ἐρασταῖς. Ἀλλ' εἰ τοῦτο γένοιτο πέρα τῆς χρείας, ἀποκάμνουσιν οἱ ποθοῦντες. Οὕτως οὖν ὃ μὲν ὠργίσθη, ὃ δὲ ἐπέβαλεν ἄλλῃ τὰ ὄμματα. Ὀξύς ἐστιν ὁ Ἔρως καὶ ἐλθεῖν καὶ ἀναπτῆναι· ἐλπίσας πτεροῦται καὶ ἀπελπίσας ταχὺ πτερορρυεῖν εἴωθεν ἀπογνωσθείς. Διὸ καὶ μέγα τῶν ἑταιρουσῶν ἐστι σόφισμα ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτιθεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. Ἤδη μὲν οὖν πολλαὶ τὸν νέον ὑπῆλθον ἑταῖραι προτρέπουσαι πιθανῶς, καὶ δὴ τοῦτον ἔφθη τις ἂν πανουργότερον λαβοῦσα εἰ μὴ τὸ μειράκιον ἀπηύχετο παντελῶς ἐναφροδισιάσαι τινὶ μετὰ σέ. Χρῆσαι τοίνυν τοῖς μὲν ὑποκρινομένοις φιλεῖν ἑταιρικῶς, τοῖς δὲ γνησίοις ἐρασταῖς φιλικώτερον. Πείθου μοι καὶ τῆς ἀμετρίας ἀπόσχου. Ὅρα μὴ κατὰ τὴν παροιμίαν ἀπορρήξωμεν πάνυ τείναντες τὸ καλῴδιον, μηδὲ λάθῃς λοιπὸν εἰς ἀγερωχίαν μεταβαλοῦσα τὸ φρόνημα. Οἶσθα δὲ ὅσον Ἔρως ἀντιστρατεύειν τοῖς ὑπερηφανοῦσι φιλεῖ.

ARISTÉNÈTE

Note ligne 11 τὸν νέον désigne le jeune ami pour lequel intercède l'auteur de la présente lettre, comme plus bas τὸ μειράκιον

* RAPPEL : L'utilisation de toute calculatrice et de tout matériel électronique est interdite.
* Seul document autorisé : un dictionnaire grec-français BAILLY, GEORGIN ou MAGNIEN-LACROIX.